UiO **Institutt for filosofi, idé- og kunsthistorie og klassiske språk**
Det humanistiske fakultet

# EKSAMEN I GRE1403 Homer HØST 2019

Oppgaven består av 2 sider.

<u>Onsdag 18. desember (4 timer)</u> **Ingen hjelpemidler**

<u>Alle spørsmål skal besvares</u>

**Oppgave 1**

Oversett følgende tekstutdrag (Iliaden 6.212-231)

  ὣς φάτο, γήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης.
ἔγχος μὲν κατέπηξεν ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὰρ ὃ μειλιχίοισι προσηύδα ποιμένα λαῶν·
‘ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός <u>ἐσσι</u> παλαιός·
Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
ξείνισ᾽ ἐνὶ μεγάροισιν ἐείκοσιν ἤματ᾽ ἐρύξας·
οἳ δὲ καὶ ἀλλήλοισι πόρον ξεινήϊα καλά·
Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν,
Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμασ᾽ ἐμοῖσι.
Τυδέα δ᾽ οὐ μέμνημαι, ἐπεί μ᾽ ἔτι τυτθὸν ἐόντα
<u>κάλλιφ</u>᾽, ὅτ᾽ ἐν Θήβῃσιν ἀπώλετο λαὸς Ἀχαιῶν.
τὼ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ
εἰμί, σὺ δ᾽ ἐν Λυκίῃ ὅτε κεν τῶν δῆμον ἵκωμαι.
ἔγχεα δ᾽ ἀλλήλων ἀλεώμεθα καὶ δι᾽ ὁμίλου·
πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ᾽ ἐπίκουροι
κτείνειν ὅν κε θεός γε πόρῃ καὶ ποσσὶ κιχείω,
πολλοὶ δ᾽ αὖ σοὶ Ἀχαιοὶ ἐναιρέμεν, ὅν κε δύνηαι.
τεύχεα δ᾽ ἀλλήλοις <u>ἐπαμείψομεν</u>, ὄφρα καὶ οἵδε
γνῶσιν ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ᾽ εἶναι.’
  ὣς ἄρα φωνήσαντε, καθ᾽ ἵππων ἀΐξαντε
χεῖράς τ᾽ ἀλλήλων <u>λαβέτην</u> καὶ πιστώσαντο:
ἔνθ᾽ αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδεΐδην Διομήδεα τεύχε᾽ ἄμειβε
χρύσεα χαλκείων, ἑκατόμβοι᾽ ἐννεαβοίων.

**KANDIDATEN BES SKRIVE TYDELIG MED PENN**

## Oppgave 2

**a.** Kommenter de understrekede formene (ἔσσι, κάλλιφ', ἐπαμείψομεν, λαβέτην). Kommentaren skal innholde en fullstendig morfologisk analyse, oppslagsform og den tilsvarende attiske formen.

**b.** Skandér følgende to linjer:

Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν,
Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον

Du skal angi for hver stavelse om den er lang eller kort, markere skillet mellom føttene i heksameter og markere sesuren. Kommenter kort eventuelle metriske avvik.

## Oppgave 3

Gi et sammendrag av handlingen i sjette bok av Iliaden.